For it is impossible to imagine it with sensation, if it is not in this organism and cannot effect these movements, when what encloses and surrounds it is no longer the same as the surroundings in which it now exists and performs these movements.

Letter to Herodotus |67|

Epicurus, c. 301-300 BCE

γε δεῖ προσκατανοεῖν, ὅτι τὸ ἀσώματον λέγομεν κατὰ τὴν πλείστην ὁμιλίαν τοῦ ὀνόματος ἐπὶ τοῦ καθ' ἑαυτὸ νοηθέντος ἄν· καθ' ἑαυτὸ δὲ οὐκ ἔστι νοῆσαι τὸ ἀσώματον πλὴν τοῦ κενοῦ· τὸ δὲ κενὸν οὔτε ποιῆσαι οὔτε παθεῖν δύναται, ἀλλὰ κίνησιν μόνον δι' ἑαυτοῦ τοῖς σώμασι παρέχεται. ὥσθ' οἱ λέγοντες ἀσώματον εἶναι τὴν ψυχὴν ματαιΐζουσιν. οὐθὲν γὰρ ἂν ἐδύνατο ποιεῖν οὔτε πάσχειν, εἰ ἦν τοιαύτη· νῦν δ' ἐναργῶς ἀμφότερα ταῦτα διαλαμβάνομεν περὶ τὴν ψυχὴν τὰ συμπτώματα.

Yonge, 1853

It must also be observed, that I use the word incorporeal in the usual meaning of the word, to express that which is in itself conceived as such. Now, nothing can be conceived in itself as incorporeal except the void; but the void cannot be either passive or active; it is only the condition and the place of movement. Accordingly, they who pretended that the soul is incorporeal, utter words destitute of sense; for if it had this character, it would not be able either to do or to suffer anything; but, as it is, we see plainly enough that it is liable to both these circumstances.

Hicks, 1925

There is the further point to be considered, what the incorporeal can be, if, I mean, according to current usage the term is applied to what can be conceived as self- existent. But it is impossible to conceive anything that is incorporeal as self-existent except empty space. And empty space cannot itself either act or be acted upon, but simply allows body to move through it. Hence those who call soul incorporeal speak foolishly. For if it were so, it could neither act nor be acted upon. But, as it is, both these properties, you see, plainly belong to soul.

Bailey, 1926

Furthermore, we must clearly comprehend as well, that the incorporeal in the general acceptation of the term is applied to that which could be thought of as such as an independent existence. Now it is impossible to conceive the incorporeal as a separate existence, except the void: and the void can neither act nor be acted upon, but only provides opportunity of motion through itself to bodies. So that those who say that the soul is incorporeal are talking idly. For it would not be able to act or be acted on in any respect, if it were of this nature. But as it is, both these occurrences are clearly distinguished in respect of the soul.

Letter to Herodotus |68|

Epicurus, c. 301-300 BCE

ταῦτα οὖν πάντα τὰ διαλογίσματα ‹τὰ› περὶ ψυχῆς ἀνάγων τις ἐπὶ τὰ πάθη καὶ τὰς αἰσθήσεις, μνημονεύων τῶν ἐν ἀρχῇ ῥηθέντων, ἱκανῶς κατόψεται τοῖς τύποις ἐμπεριειλημμένα εἰς τὸ κατὰ μέρος ἀπὸ τούτων ἐξακριβοῦσθαι βεβαίως. Ἀλλὰ μὴν καὶ τὰ σχήματα καὶ τὰ χρώματα καὶ τὰ μεγέθη καὶ τὰ βάρη καὶ ὅσα ἄλλα κατηγορεῖται σώματος ὡς ἂν ἀεὶ συμβεβηκότα ἢ πᾶσιν ἢ τοῖς ὁρατοῖς καὶ κατὰ τὴν αἴσθησιν αὐτῶν γνωστοῖς, οὔθ’ ὡς καθ’ ἑαυτάς εἰσι φύσεις δοξαστέον - οὐ γὰρ δυνατὸν ἐπινοῆσαι τοῦτο -

Yonge, 1853

Let us then apply all these reasoning to the affections and sensations, recollecting the ideas which we laid down at the beginning, and then we shall see clearly that these general principles contain an exact solution of all the particular cases. As to forms, and hues, and magnitudes, and weight, and the other qualities which one looks upon as attributes, whether it be of every body, or of those bodies only which are visible and perceived by the senses, this is the point of view under which they ought to be considered: they are not particular substances, having a peculiar existence of their own, for that cannot be conceived;

Hicks, 1925

If, then, we bring all these arguments concerning soul to the criterion of our feelings and perceptions, and if we keep in mind the proposition stated at the outset, we shall see that the subject has been adequately comprehended in outline: which will enable us to determine the details with accuracy and confidence. Moreover, shapes and colours, magnitudes and weights, and in short all those qualities which are predicated of body, in so far as they are perpetual properties either of all bodies or of visible bodies, are knowable by sensation of these very properties: these, I say, must not be supposed to exist independently by themselves (for that is inconceivable),

Bailey, 1926

Now if one refers all these reasonings about the soul to the standards of feeling and sensation and remembers what was said at the outset, he will see that they are sufficiently embraced in these general formulae to enable him to work out with certainty on this basis the details of the system as well. Moreover, as regards shape and colour and size and weight and all other things that are predicated of body, as though they were concomitant properties either of all things or of things visible or recognizable through the sensation of these qualities, we must not suppose that they are either independent existences (for it is impossible to imagine that),

Letter to Herodotus |69|

Epicurus, c. 301-300 BCE

οὔτε ὅλως ὡς οὐκ εἰσίν, οὔθ' ὡς ἕτερ' ἄττα προσυπάρχοντα τούτῳ ἀσώματα, οὔθ' ὡς μόρια τούτου, ἀλλ' ὡς τὸ ὅλον σῶμα καθόλου ἐκ τούτων πάντων τὴν ἑαυτοῦ φύσιν ἔχον ἀίδιον, οὐχ οἷον δὲ εἶναι συμπεφορημένον - ὥσπερ ὅταν ἐξ αὐτῶν τῶν ὄγκων μεῖζον ἄθροισμα συστῇ ἤτοι τῶν πρώτων ἢ τῶν τοῦ ὅλου μεγεθῶν τοῦδε τινὸς ἐλαττόνων - ἀλλὰ μόνον, ὡς λέγω, ἐκ τούτων ἁπάντων τὴν ἑαυτοῦ φύσιν ἔχον ἀίδιον. καὶ ἐπιβολὰς μὲν ἔχοντα ἰδίας πάντα ταῦτά ἐστι καὶ διαλήψεις, συμπαρακολουθοῦντος δὲ τοῦ ἀθρόου καὶ οὐθαμῇ ἀποσχιζομένου, ἀλλὰ κατὰ τὴν ἀθρόαν ἔννοιαν τοῦ σώματος κατηγορίαν εἰληφότος.

Yonge, 1853

nor can one say any more that they have no reality at all. They are not incorporeal substances inherent in the body, nor are they parts of the body. But they constitute by their union, I repeat, the eternal substance of the body. Each of these attributes has ideas and particular perceptions which correspond to it; but they cannot be perceived independently of the whole subject taken entirely. The union of all these perceptions forms the idea of the body.

Hicks, 1925

nor yet to be non-existent, nor to be some other and incorporeal entities cleaving to body, nor again to be parts of body. We must consider the whole body in a general way to derive its permanent nature from all of them, though it is not, as it were, formed by grouping them together in the same way as when from the particles themselves a larger aggregate is made up, whether these particles be primary or any magnitudes whatsoever less than the particular whole. All these qualities, I repeat, merely give the body its own permanent nature. They all have their own characteristic modes of being perceived and distinguished, but always along with the whole body in which they inhere and never in separation from it; and it is in virtue of this complete conception of the body as a whole that it is so designated.

Bailey, 1926

nor that they absolutely do not exist, nor that they are some other kind of incorporeal existence accompanying body, nor that they are material parts of body: rather we should suppose that the whole body in its totality owes its own permanent existence to all these, yet not in the sense that it is composed of properties brought together to form it (as when, for instance, a larger structure is put together out of the parts which compose it, whether the first units of size or other parts smaller than itself, whatever it is), but only, as I say, that it owes its own permanent existence to all of them. All these properties have their own peculiar means of being perceived and distinguished, provided always that the aggregate body goes along with them and is never wrested from them, but in virtue of its comprehension as an aggregate of qualities acquires the predicate of body.

Letter to Herodotus |70|

Epicurus, c. 301-300 BCE

Καὶ μὴν καὶ τοῖς σώμασι συμπίπτει πολλάκις καὶ οὐκ ἀίδιον παρακολουθεῖν οὔτ' ἐν τοῖς ἀοράτοις καὶ οὔτε ἀσώματα. ὥστε δὴ κατὰ τὴν πλείστην φορὰν τούτῳ τῷ ὀνόματι χρώμενοι φανερὰ ποιοῦμεν τὰ συμπτώματα οὔτε τὴν τοῦ ὅλου φύσιν ἔχειν, ὃ συλλαβόντες κατὰ τὸ ἀθρόον σῶμα προσαγορεύομεν, οὔτε τὴν τῶν ἀίδιον παρακολουθούντων, ὧν ἄνευ σῶμα οὐ δυνατὸν νοεῖσθαι. κατ' ἐπιβολὰς δ' ἄν τινας παρακολυθοῦντος τοῦ ἀθρόου ἕκαστα προσαγορευθείη,

Yonge, 1853

Bodies often possess other attributes which are not eternally inherent in them, but which nevertheless, cannot be ranged among the incorporeal and invisible things. Accordingly, it is sufficient to express the general idea of the movement of transference to enable us to conceive in a moment certain distinct qualities, and those combined beings, which, being taken in their totality, receive the name of bodies; and the necessary and eternal attributes without which the body cannot be conceived. There are certain conceptions corresponding to these attributes; but nevertheless, they cannot be known abstractedly, and independently of some subjects;

Hicks, 1925

Again, qualities often attach to bodies without being permanent concomitants. They are not to be classed among invisible entities nor are they incorporeal. Hence, using the term 'accidents' in the commonest sense, we say plainly that 'accidents' have not the nature of the whole thing to which they belong, and to which, conceiving it as a whole, we give the name of body, nor that of the permanent properties without which body cannot be thought of. And in virtue of certain peculiar modes of apprehension into which the complete body always enters, each of them can be called an accident.

Bailey, 1926

Furthermore, there often happen to bodies and yet do not permanently accompany them accidents, of which we must suppose neither that they do not exist at all nor that they have the nature of a whole body, nor that they can be classed among unseen things nor as incorporeal. So that when according to the most general usage we employ this name, we make it clear that accidents have neither the nature of the whole, which we comprehend in its aggregate and call body, nor that of the qualities which permanently accompany it, without which a given body cannot be conceived.

Letter to Herodotus |71|

Epicurus, c. 301-300 BCE

ἀλλ᾽ ὅτε δήποτε ἕκαστα συμβαίνοντα θεωρεῖται, οὐκ ἀίδιον τῶν συμπτώματων παρακολουθούντων. καὶ οὐκ ἐξελατέον ἐκ τοῦ ὄντος ταύτην τὴν ἐνάργειαν, ὅτι οὐκ ἔχει τὴν τοῦ ὅλου φύσιν ᾧ συμβαίνει ὃ δὴ καὶ σῶμα προσαγορεύομεν, οὐδὲ τὴν τῶν ἀίδιον παρακολουθούντων, οὐδ᾽ αὖ καθ᾽ αὑτὰ νομιστέον - οὐδὲ γὰρ τοῦτο διανοητὸν οὔτ᾽ ἐπὶ τούτων οὔτ᾽ ἐπὶ τῶν ἀίδιον συμβεβηκότων - ἀλλ᾽ ὅπερ καὶ φαίνεται, συμπτώματα πάντα τὰ τοιαῦτα νομιστέον, καὶ οὐκ ἀίδιον παρακολουθοῦντα οὐδ᾽ αὖ φύσεως καθ᾽ ἑαυτὰ τάγμα ἔχοντα, ἀλλ᾽ ὃν τρόπον αὐτὴ ἡ αἴσθησις τὴν ἰδιότητα ποιεῖ, θεωρεῖται.

Yonge, 1853

and further, inasmuch as they are not attributes necessarily inherent in the idea of a body, one can only conceive them in the moment in which they are visible; they are realities nevertheless; and one must not refuse them being an existence merely because they have neither the characteristic of the compound beings to which we give the name of bodies, nor that of the eternal attributes. We should be equally deceived if we were to suppose that they have a separate and independent existence; for that is true neither of them nor of the eternal attributes. They are, as one sees plainly, accidents of the body; accidents which do not of necessity make any part of its nature; which cannot be considered as independent substances, but still to each of which sensation gives the peculiar character under which it appears to us.

Hicks, 1925

But only as often as they are seen actually to belong to it, since such accidents are not perpetual concomitants. There is no need to banish from reality this clear evidence that the accident has not the nature of that whole – by us called body – to which it belongs, nor of the permanent properties which accompany the whole. Nor, on the other hand, must we suppose the accident to have independent existence (for this is just as inconceivable in the case of accidents as in that of the permanent properties); but, as is manifest, they should all be regarded as accidents, not as permanent concomitants, of bodies, nor yet as having the rank of independent existence. Rather they are seen to be exactly as and what sensation itself makes them individually claim to be.

Bailey, 1926

But as the result of certain acts of apprehension, provided the aggregate body goes along with them, they might each be given this name, but only on occasions when each one of them is seen to occur, since accidents are not permanent accompaniments. And we must not banish this clear vision from the realm of existence, because it does not possess the nature of the whole to which it is joined nor that of the permanent accompaniments, nor must we suppose that such contingencies exist independently (for this is inconceivable both with regard to them and to the permanent properties), but, just as it appears in sensation, we must think of them all as accidents occurring to bodies, and that not as permanent accompaniments, or again as having in themselves a place in the ranks of material existence; rather they are seen to be just what our actual sensation shows their proper character to be.

Letter to Herodotus |72|

Epicurus, c. 301-300 BCE

Καὶ μὴν καὶ τόδε γε δεῖ προσκατανοῆσαι σφοδρῶς· τὸν γὰρ δὴ χρόνον οὐ ζητητέον ὥσπερ καὶ τὰ λοιπά, ὅσα ἐν ὑποκειμένῳ ζητοῦμεν ἀνάγοντες ἐπὶ τὰς βλεπομένας παρ᾽ ἡμῖν αὐτοῖς προλήψεις, ἀλλ᾽ αὐτὸ τὸ ἐνάργημα, καθ᾽ ὃ τὸν πολὺν ἢ ὀλίγον χρόνον ἀναφωνοῦμεν, συγγενικῶς τοῦτο περιφέροντες, ἀναλογιστέον. καὶ οὔτε διαλέκτους ὡς βελτίους μεταληπτέον, ἀλλ᾽ αὐταῖς ταῖς ὑπαρχούσαις κατ᾽ αὐτοῦ χρηστέον, οὔτε ἄλλο τι κατ᾽ αὐτοῦ κατηγορητέον, ὡς τὴν αὐτὴν οὐσίαν ἔχοντος τῷ ἰδιώματι τούτῳ - καὶ γὰρ τοῦτο ποιοῦσί τινες - ἀλλὰ μόνον ᾧ συμπλέκομεν τὸ ἴδιον τοῦτο καὶ παραμετροῦμεν, μάλιστα ἐπιλογίστέον.

Yonge, 1853

Another important question is that of time. Here we cannot apply any more the method of examination to which we submit other objects, where we study with reference to a give subject; and which we refer to the preconceptions which exist in ourselves. We must seize, by analogy, and going round the whole circle of things comprised under this general denomination for time - we must seize, I say, that essential character which causes us to say that time is long or short. It is not necessary for that purpose to seek for any new forms of expression as preferable to those which are in common use; we may content ourselves with those by which time is usually indicated. Nor need we, as certain philosophers do, affirm any particular attribute of time, for that would be to suppose that its essence is the same as that of this attribute. It is sufficient to seek for the ingredients of which this particular nature which we call time is composed, and for the means by which it is measured.

Hicks, 1925

There is another thing which we must consider carefully. We must not investigate time as we do the other accidents which we investigate in a subject, namely, by referring them to the preconceptions envisaged in our minds; but we must take into account the plain fact itself, in virtue of which we speak of time as long or short, linking to it in intimate connexion this attribute of duration. We need not adopt any fresh terms as preferable, but should employ the usual expressions about it. Nor need we predicate anything else of time, as if this something else contained the same essence as is contained in the proper meaning of the word ‘time’ (for this also is done by some). We must chiefly reflect upon that to which we attach this peculiar character of time, and by which we measure it.

Bailey, 1926

Moreover, you must firmly grasp this point as well; we must not look for time, as we do for all other things which we look for in an object, by referring them to the general conceptions which we perceive in our own minds, but we must take the direct intuition, in accordance with which we speak of “a long time” or “a short time,” and examine it, applying our intuition to time as we do to other things. Neither must we search for expressions as likely to be better, but employ just those which are in common use about it. Nor again must we predicate of time anything else as having the same essential nature as this special perception, as some people do, but we must turn our thoughts particularly to that only with which we associate this peculiar perception and by which we measure it.

Epicurus, c. 301-300 BCE

καὶ γὰρ τοῦτο οὐκ ἀποδείξεως προσδεῖται ἀλλ᾽ ἐπιλογισμοῦ, ὅτι ταῖς ἡμέραις καὶ ταῖς νυξὶ συμπλέκομεν, καὶ τοῖς τούτων μέρεσιν, ὡσαύτως δὲ καὶ τοῖς πάθεσι καὶ ταῖς ἀπαθείαις, καὶ κινήσεσι καὶ στάσεσιν ἴδιόν τι σύμπτωμα, περὶ ταῦτα πάλιν αὐτὸ τοῦτο ἐννοοῦντες, καθὸ χρόνον ὀνομάζομεν (φησὶ δὲ τοῦτο καὶ ἐν τῇ †δευτέρᾳ †Περὶ φύσεως καὶ ἐν τῇ Μεγάλῃ ἐπιτομῇ.) Ἐπί τε τοῖς προειρημένοις τοὺς κόσμους δεῖ καὶ πᾶσαν σύγκρισιν πεπερασμένην τὸ ὁμοειδὲς τοῖς θεωρουμένοις πυκνῶς ἔχουσαν νομίζειν γεγονέναι ἀπὸ τοῦ ἀπείρου, πάντων τούτων ἐκ συστροφῶν ἰδίων ἀποκεκριμένων καὶ μειζόνων καὶ ἐλαττόνων· καὶ πάλιν διαλύεσθαι πάντα, τὰ μὲν θᾶττον, τὰ δὲ βραδύτερον, καὶ τὰ μὲν ὑπὸ τῶν τοιῶνδε, τὰ δὲ ὑπὸ τῶν τοιῶνδε τοῦτο πάσχοντα.

Yonge, 1853

For this we have no need of demonstration; a simple exposition is sufficient. It is, in fact, evident, that we speak of time as composed of days and nights, and parts of days and nights; passiveness and impassability, movement and repose, are equally comprised in time. In short it is evident that in connection with these different states, we can conceive a particular property to which we give the name of time. *[Epicurus lays down the same principles in the second book of his treatise on Nature, and in his Great Abridgment.]* It is from the infinite that the worlds are derived, and all the finite aggregates which present numerous analogies with the things which we observe under our own eyes. Each of these objects, great and small, has been separated from the infinite by a movement peculiar to itself. On the other hand, all these bodies will be successively destroyed, some more, and others less rapidly; some under the influence of one cause, and others because of the agency of some other. *[It is evident, after this, that Epicurus regards the worlds as perishable, since he admits that their parts are capable of transformation. He also says in other places, that the earth rests suspended in the air.]*

Hicks, 1925

No further proof is required: we have only to reflect that we attach the attribute of time to days and nights and their parts, and likewise to feelings of pleasure and pain and to neutral states, to states of movement and states of rest, conceiving a peculiar accident of these to be this very characteristic which we express by the word ‘time.’ *[He says this both in the second book “On Nature” and in the Larger Epitome.]* After the foregoing we have next to consider that the worlds and every finite aggregate which bears a strong resemblance to things we commonly see have arisen out of the infinite. For all these, whether small or great, have been separated off from special conglomerations of atoms; and all things are again dissolved, some faster, some slower, some through the action of one set of causes, others through the action of another. *[It is clear, then, that he also makes the worlds perishable, as their parts are subject to change. Elsewhere he says the earth is supported on the air.]*

Bailey, 1926

For indeed this requires no demonstration, but only reflection, to show that it is with days and nights and their divisions that we associate it and likewise also with internal feelings or absence of feeling, and with movements and states of rest; in connection with these last again we think of this very perception as a peculiar kind of accident, and in virtue of this we call it time. And in addition to what we have already said we must believe that worlds, and indeed every limited compound body which continuously exhibits a similar appearance to the things we see, were created from the infinite, and that all such things, greater and less alike, were separated off from individual agglomerations of matter; and that all are again dissolved, some more quickly, some more slowly, some suffering from one set of causes, others from another.

Letter to Herodotus |74|

Epicurus, c. 301-300 BCE

(δῆλον οὖν ὡς καὶ φθαρτούς φησι τοὺς κόσμους, μεταβαλλόντων τῶν μερῶν. καὶ ἐν ἄλλοις τὴν γῆν τῷ ἀέρι ἐποχεῖσθαι.) Ἔτι δὲ τοὺς κόσμους οὔτε ἐξ ἀνάγκης δεῖ νομίζειν ἕνα σχηματισμὸν ἔχοντας, ἀλλὰ (καὶ διαφόρους αὐτοὺς ἐν τῇ ι β Περὶ φύσεώς φησιν) οὓς μὲν γὰρ σφαιροειδεῖς, καὶ ᾠοειδεῖς ἄλλους, καὶ ἀλλοιοσχήμονας ἑτέρους· οὐ μέντοι πᾶν σχῆμα ἔχειν· οὐδὲ ζῷα εἶναι ἀποκριθέντα ἀπὸ τοῦ ἀπείρου. οὐδὲ γὰρ ἂν ἀποδείξειεν οὐδείς, ὡς ‹ἐν› μὲν τῷ τοιούτῳ καὶ οὐκ ἂν ἐμπεριελήφθη τὰ τοιαῦτα σπέρματα ἐξ ὧν ζῷά τε καὶ φυτὰ καὶ τὰ λοιπὰ πάντα ‹τὰ› θεωρούμενα συνίσταται, ἐν δὲ τῷ τοιούτῳ οὐκ ἂν ἐδυνήθη. ὡσαύτως δὲ καὶ ἐντραφῆναι. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ γῆς νομιστέον.

Yonge, 1853

We must not believe that all worlds necessarily have one identical form. *[He says, in fact, in the twelfth book of his treatise on the World, that the worlds differ from one another; some being spherical, other elliptical, and others of other shapes.]* Let us also beware of thinking that animals are derived from the infinite; for there is no one who can prove that the seeds from which animals are born, and plants, and all the other objects which we contemplate, have been brought from the exterior in such a world, and that this same world would not have been able to produce them of itself. *[This remark applies particularly to the earth.]*

Hicks, 1925

And further, we must not suppose that the worlds have necessarily one and the same shape. *[On the contrary, in the twelfth book "On Nature" he himself says that the shapes of the worlds differ, some being spherical, some oval, others again of shapes different from these.]* They do not, however, admit of every shape. Nor are they living beings which have been separated from the infinite. For nobody can prove that in one sort of world there might not be contained, whereas in another sort of world there could not possibly be, the seeds out of which animals and plants arise and all the rest of the things we see. *[And the same holds good for their nurture in a world after they have arisen. And so too we must think it happens upon the earth also.]*

Bailey, 1926

And further we must believe that these worlds were neither created all of necessity with one configuration nor yet with every kind of shape. Furthermore, we must believe that in all worlds there are living creatures and plants and other things we see in this world; for indeed no one could prove that in a world of one kind there might or might not have been included the kinds of seeds from which living things and plants and all the rest of the things we see are composed, and that in a world of another kind they could not have been.

Epicurus, c. 301-300 BCE

Ἀλλὰ μὴν ὑποληπτέον καὶ τὴν φύσιν πολλὰ καὶ παντοῖα ὑπὸ αὐτῶν τῶν πραγμάτων διδαχθῆναί τε καὶ ἀναγκασθῆναι, τὸν δὲ λογισμὸν τὰ ὑπὸ ταύτης παρεγγυηθέντα ὕστερον ἐπακριβοῦν καὶ προσεξευρίσκειν ἐν μέν τισι θᾶττον, ἐν δέ τισι βραδύτερον καὶ ἐν μέν τισι περιόδοις καὶ χρόνοις [ἀπὸ τῶν ἀπὸ τοῦ ἀπείρου] ..... ἐν δέ τισι κατ' ἐλάττους. Ὅθεν καὶ τὰ ὀνόματα ἐξ ἀρχῆς μὴ θέσει γενέσθαι, ἀλλ' αὐτὰς τὰς φύσεις τῶν ἀνθρώπων καθ' ἕκαστα ἔθνη ἴδια πασχούσας πάθη καὶ ἴδια λαμβανούσας φαντάσματα ἰδίως τὸν ἀέρα ἐκπέμπειν στελλόμενον ὑφ' ἑκάστων τῶν παθῶν καὶ τῶν φαντασμάτων, ὡς ἄν ποτε καὶ ἡ παρὰ τοὺς τόπους τῶν ἐθνῶν διαφορὰ εἴη·

Yonge, 1853

Again, we must admit that in many and various respects, nature is both instructed and constrained by circumstances themselves; and that Reason subsequently makes perfect and enriches with additional discoveries the things which it has borrowed from nature; in some cases rapidly, and in others more slowly. And in some cases according to periods and times greater than those which proceed from the infinite; in other cases according to those which are smaller. So, originally it was only in virtue of express agreements that one gave names to things. But men whose ideas and passion varied according to their respective nations, formed these names of their own accord, uttering diverse sounds produced by each passion, or by each idea, following the differences of the situations and of the peoples.

Hicks, 1925

Again, we must suppose that nature too has been taught and forced to learn many various lessons by the facts themselves, that reason subsequently develops what it has thus received and makes fresh discoveries, among some tribes more quickly, among others more slowly, the progress thus made being at certain times and seasons greater, at others less. Hence even the names of things were not originally due to convention, but in the several tribes under the impulse of special feelings and special presentations of sense primitive man uttered special cries. The air thus emitted was moulded by their individual feelings or sense-presentations, and differently according to the difference of the regions which the tribes inhabited.

Bailey, 1926

Moreover, we must suppose that human nature too was taught and constrained to do many things of every kind merely by circumstances; and that later on reasoning elaborated what had been suggested by nature and made further inventions, in some matters quickly, in others slowly, at some epochs and times making great advances, and lesser again at others. And so names too were not at first deliberately given to things, but men's natures according to their different nationalities had their own peculiar feelings and received their peculiar impressions, and so each in their own way emitted air formed into shape by each of these feelings and impressions, according to the differences made in the different nations by the places of their abode as well.

Letter to Herodotus |76|

Epicurus, c. 301-300 BCE

ὕστερον δὲ κοινῶς καθ' ἕκαστα ἔθνη τὰ ἴδια τεθῆναι πρὸς τὸ τὰς δηλώσεις ἧττον ἀμφιβόλους γενέσθαι ἀλλήλοις καὶ συντομωτέρως δηλουμένας· τινὰ δὲ καὶ οὐ συνορώμενα πράγματα εἰσφέροντας τοὺς συνειδότας παρεγγυῆσαί τινας φθόγγους τοὺς ‹μὲν› ἀναγκασθέντας ἀναφωνῆσαι, τοὺς δὲ τῷ λογισμῷ ἑλομένους κατὰ τὴν πλείστην αἰτίαν οὕτως ἑρμηνεῦσαι. Καὶ μὴν ἐν τοῖς μετεώροις φορὰν καὶ τροπὴν καὶ ἔκλειψιν καὶ ἀνατολὴν καὶ δύσιν καὶ τὰ σύστοιχα τούτοις μήτε λειτουργοῦντός τινος νομίζειν δεῖ γίνεσθαι καὶ διατάττοντος ἢ διατάξαντος καὶ ἅμα τὴν πᾶσαν μακαριότητα ἔχοντος μετὰ ἀφθαρσίας

Yonge, 1853

At a later period one established in each nation, in a uniform manner, particular terms intended to render the relations more easy, and language more concise. Educated men introduced the notion of things not discoverable by the senses, and appropriated words to them when they found themselves under the necessity of uttering their thoughts; after this, other men, guided in every point by reason, interpreted these words in the same sense. As to the heavenly phenomena, such as the motion and course of the stars, the eclipses, their rising and setting, and all other appearances of the same kind, we must beware of thinking that they are produced by any particular being which has regulated, or whose business it is to regulate, for the future, the order of the world, a being immortal and perfectly happy;

Hicks, 1925

Subsequently whole tribes adopted their own special names, in order that their communications might be less ambiguous to each other and more briefly expressed. And as for things not visible, so far as those who were conscious of them tried to introduce any such notion, they put in circulation certain names for them, either sounds which they were instinctively compelled to utter or which they selected by reason on analogy according to the most general cause there can be for expressing oneself in such a way. Nay more: we are bound to believe that in the sky revolutions, solstices, eclipses, risings and settings, and the like, take place without the ministration or command, either now or in the future, of any being who at the same time enjoys perfect bliss along with immortality.

Bailey, 1926

And then later on by common consent in each nationality special names were deliberately given in order to make their meanings less ambiguous to one another and more briefly demonstrated. And sometimes those who were acquainted with them brought in things hitherto unknown and introduced sounds for them, on some occasions being naturally constrained to utter them, and on others choosing them by reasoning in accordance with the prevailing mode of formation, and thus making their meaning clear. Furthermore, the motions of the heavenly bodies and their turnings and eclipses and risings and settings, and kindred phenomena to these, must not be thought to be due to any being who controls and ordains or has ordained them and at the same time enjoys perfect bliss together with immortality

Letter to Herodotus |77|

Epicurus, c. 301-300 BCE

- οὐ γὰρ συμφωνοῦσι πραγματεῖαι καὶ φροντίδες καὶ ὀργαὶ καὶ χάριτες μακαριότητι, ἀλλ᾽ ἐν ἀσθενείᾳ καὶ φόβῳ καὶ προσδεήσει τῶν πλησίον ταῦτα γίνεται - μήτε αὖ πῦρ ἅμα ὄντα συνεστραμμένον τὴν μακαριότητα κεκτημένα κατὰ βούλησιν τὰς κινήσεις ταύτας λαμβάνειν· ἀλλὰ πᾶν τὸ σέμνωμα τηρεῖν κατὰ πάντα ὀνόματα φερόμενα ἐπὶ τὰς τοιαύτας ἐννοίας, ἵνα μηδὲν ὑπεναντίον ἐξ αὐτῶν τῷ σεμνώματι δόξῃ· εἰ δὲ μή, τὸν μέγιστον τάραχον ἐν ταῖς ψυχαῖς αὐτὴ ἡ ὑπεναντιότης παρασκευάσει. ὅθεν δὴ κατὰ τὰς ἐξ ἀρχῆς ἐναπολήψεις τῶν συστροφῶν τούτων ἐν τῇ τοῦ κόσμου γενέσει δεῖ δοξάζειν καὶ τὴν ἀνάγκην ταύτην καὶ περίοδον συντελεῖσθαι.

Yonge, 1853

for the cares and anxieties, the benevolence and the anger, far from being compatible with felicity, are, on the contrary, the consequence of weakness, of fear, and of the want which a thing has of something else. We must not fancy either that these globes of fire, which roll on in space, enjoy a perfect happiness, and give themselves, with reflection and wisdom, the motions which they possess. But we must respect the established notions on this subject, provided, nevertheless, that they do not all contradict the respect due to truth; for nothing is more calculated to trouble the soul than this strife of contradictory notions and principles. We must therefore admit that from the first movement impressed on the heavenly bodies since the organization of the world there is derived a sort of necessity which regulates their course to this day.

Hicks, 1925

For troubles and anxieties and feelings of anger and partiality do not accord with bliss, but always imply weakness and fear and dependence upon one's neighbours. Nor, again, must we hold that things which are no more than globular masses of fire, being at the same time endowed with bliss, assume these motions at will. Nay, in every term we use we must hold fast to all the majesty which attaches to such notions as bliss and immortality, lest the terms should generate opinions inconsistent with this majesty. Otherwise such inconsistency will of itself suffice to produce the worst disturbance in our minds. Hence, where we find phenomena invariably recurring, the invariableness of the recurrence must be ascribed to the original interception and conglomeration of atoms whereby the world was formed.

Bailey, 1926

(for trouble and care and anger and kindness are not consistent with a life of blessedness, but these things come to pass where there is weakness and fear and dependence on neighbors). Nor again must we believe that they, which are but fire agglomerated in a mass, possess blessedness, and voluntarily take upon themselves these movements. But we must preserve their full majestic significance in all expressions which we apply to such conceptions, in order that there may not arise out of them opinions contrary to this notion of majesty. Otherwise this very contradiction will cause the greatest disturbance in men's souls. Therefore we must believe that it is due to the original inclusion of matter in such agglomerations during the birth-process of the world that this law of regular succession is also brought about.

Letter to Herodotus |78|

Epicurus, c. 301-300 BCE

Καὶ μὴν καὶ τὴν ὑπὲρ τῶν κυριωτάτων αἰτίαν ἐξακριβῶσαι φυσιολογίας ἔργον εἶναι δεῖ νομίζειν, καὶ τὸ μακάριον ἐν τῇ περὶ μετεώρων γνώσει ἐνταῦθα πεπτωκέναι καὶ ἐν τῷ τίνες φύσεις αἱ θεωρούμεναι κατὰ τὰ μετέωρα ταυτί, καὶ ὅσα συγγενῆ πρὸς τὴν εἰς τοῦτο ἀκρίβειαν· ἔτι τε οὐ τὸ πλεοναχῶς ἐν τοῖς τοιούτοις εἶναι καὶ τὸ ἐνδεχόμενον καὶ ἄλλως πως ἔχειν, ἀλλ᾽ ἁπλῶς μὴ εἶναι ἐν ἀφθάρτῳ καὶ μακαρίᾳ φύσει τῶν διάκρισιν ὑποβαλλόντων ἢ τάραχον μηθέν. καὶ τοῦτο καταλαβεῖν τῇ διανοίᾳ ἔστιν ἁπλῶς εἶναι.

Yonge, 1853

Let us be well assured that it is to physiology that it belongs to determine the causes of the most elevated phenomena, and that happiness consists, above all things, in the science of the heavenly things and their nature, and in the knowledge of analogous phenomena which may aid us in the comprehension of ethics. These heavenly phenomena admit of several explanations; they have no reason of a necessary character, and one may explain them in different manners. In a word, they have no relation - a moment's consideration will prove this by itself - with those imperishable and happy natures which admit of no division and of no confusion.

Hicks, 1925

Further, we must hold that to arrive at accurate knowledge of the cause of things of most moment is the business of natural science, and that happiness depends on this (viz. on the knowledge of celestial and atmospheric phenomena), and upon knowing what the heavenly bodies really are, and any kindred facts contributing to exact knowledge in this respect. Further, we must recognize on such points as this no plurality of causes or contingency, but must hold that nothing suggestive of conflict or disquiet is compatible with an immortal and blessed nature. And the mind can grasp the absolute truth of this.

Bailey, 1926

Furthermore, we must believe that to discover accurately the cause of the most essential facts is the function of the science of nature, and that blessedness for us in the knowledge of celestial phenomena lies in this and in the understanding of the nature of the existences seen in these celestial phenomena, and of all else that is akin to the exact knowledge requisite for our happiness: in knowing too that what occurs in several ways or is capable of being otherwise has no place here but that nothing which suggests doubt or alarm can be included at all in that which is naturally immortal and blessed. Now this we can ascertain by our mind is absolutely the case.

Letter to Herodotus |79|

Epicurus, c. 301-300 BCE

τὸ δ' ἐν τῇ ἱστορίᾳ πεπτωκὸς τῆς δύσεως καὶ ἀνατολῆς καὶ τροπῆς καὶ ἐκλείψεως καὶ ὅσα συγγενῆ τούτοις μηθὲν ἔτι πρὸς τὸ μακάριον τῆς γνώσεως συντείνειν ἀλλ' ὁμοίως τοὺς φόβους ἔχειν τοὺς ταῦτα κατειδότας, τίνες δ' αἱ φύσεις ἀγνοοῦντας καὶ τίνες αἱ κυριώταται αἰτίαι, καὶ εἰ μὴ προσῄδεσαν ταῦτα· τάχα δὲ καὶ πλείους, ὅταν τὸ θάμβος ἐκ τῆς τούτων προσκατανοήσεως μὴ δύνηται τὴν λύσιν λαμβάνειν κατὰ τὴν περὶ τῶν κυριωτάτων οἰκονομίαν. διὸ δὴ καὶ πλείους αἰτίας εὑρίσκομεν τροπῶν καὶ δύσεων καὶ ἀνατολῶν καὶ ἐκλείψεων καὶ τῶν τοιουτοτρόπων ὥσπερ καὶ ἐν τοῖς κατὰ μέρος γινομένοις,

Yonge, 1853

As for the theoretical knowledge of the rising and setting of the stars, of the movement of the sun between the tropics, of the eclipses, and all other similar phenomena, that is utterly useless, as far as any influence upon happiness that it can have. Moreover, those who, though possessed of this knowledge, are ignorant of nature, and of the most probable causes of the phenomena, are no more protected from fear than if they were in the most complete ignorance; they even experience the most lively fears, for the trouble, with which the knowledge of which they are possessed inspires them, can find no issue, and is not dissipated by a clear perception of the reasons of these phenomena. As to us, we find many explanations of the motions of the sun, of the rising and setting of the stars, of the eclipse and similar phenomena, just as well as of the more particular phenomena.

Hicks, 1925

But when we come to subjects for special inquiry, there is nothing in the knowledge of risings and settings and solstices and eclipses and all kindred subjects that contributes to our happiness; but those who are well-informed about such matters and yet are ignorant what the heavenly bodies really are, and what are the most important causes of phenomena, feel quite as much fear as those who have no such special information – nay, perhaps even greater fear, when the curiosity excited by this additional knowledge cannot find a solution or understand the subordination of these phenomena to the highest causes. Hence, if we discover more than one cause that may account for solstices, settings and risings, eclipses and the like, as we did also in particular matters of detail,

Bailey, 1926

But what falls within the investigation of risings and settings and turnings and eclipses, and all that is akin to this, is no longer of any value for the happiness which knowledge brings, but persons who have perceived all this, but yet do not know what are the natures of these things and what are the essential causes, are still in fear, just as if they did not know these things at all: indeed, their fear may be even greater, since the wonder which arises out of the observation of these things cannot discover any solution or realize the regulation of the essentials. And for this very reason, even if we discover several causes for turnings and settings and risings and eclipses and the like, as has been the case already in our investigation of detail,

Letter to Herodotus |80|

Epicurus, c. 301-300 BCE

καὶ οὐ δεῖ νομίζειν τὴν ὑπὲρ τούτων χρείαν ἀκρίβειαν μὴ ἀπειληφέναι, ὅση πρὸς τὸ ἀτάραχον καὶ μακάριον ἡμῶν συντείνει. ὥστε παραθεωροῦντας ποσαχῶς παρ' ἡμῖν τὸ ὅμοιον γίνεται, αἰτιολογητέον ὑπέρ τε τῶν μετεώρων καὶ παντὸς τοῦ ἀδήλου, καταφρονοῦντας τῶν οὔτε ‹τὸ› μοναχῶς ἔχον ἢ γινόμενον γνωριζόντων οὔτε τὸ πλεοναχῶς συμβαῖνον, ‹ἐπὶ τῶν› τὴν ἐκ τῶν ἀποστημάτων φαντασίαν παραδιδόντων, ἔτι τε ἀγνοοῦντων καὶ ἐν ποίοις οὐκ ἔστιν ἀταρακτῆσαι ‹καὶ ἐν ποίοις ὁμοίως ἀταρακτῆσαι›. ἂν οὖν οἰώμεθα καὶ ὡδί πως ἐνδεχόμενον αὐτὸ γίνεσθαι [καὶ ἐν ποίοις ὁμοίως ἀταρακτῆσαι], αὐτὸ τὸ ὅτι πλεοναχῶς γίνεται γνωρίζοντες, ὥσπερ κἂν ὅτι ὡδί πως γίνεται εἰδῶμεν, ἀταρακτήσομεν.

Yonge, 1853

And one must not think that this method of explanation is not sufficient to procure happiness and tranquillity. Let us content ourselves with examining how it is that similar phenomena are brought about under our own eyes, and let us apply these observations to the heavenly objects and to everything which known only indirectly. Let us despise those people who are unable to distinguish facts susceptible of different explanations from others which can only exist and be explained in one single way. Let us disdain those men who do not know, by means of the different images which result form distance, how to give an account of the different appearances of things; who, in a word, are ignorant about what are the objects which can excite any trouble in us. If, then, we know that such a phenomenon can be brought about in the same manner as another given phenomenon of the same character which does not inspire us with any apprehension; and if, on the other hand, we know that it can take place in many different manners, we shall not be more troubled at sight of it than if we know the real cause of it.

Hicks, 1925

we must not suppose that our treatment of these matters fails of accuracy, so far as it is needful to ensure our tranquillity and happiness. When, therefore, we investigate the causes of celestial and atmospheric phenomena, as of all that is unknown, we must take into account the variety of ways in which analogous occurrences happen within our experience; while as for those who do not recognize the difference between what is or comes about from a single cause and that which may be the effect of any one of several causes, overlooking the fact that the objects are only seen at a distance, and are moreover ignorant of the conditions that render, or do not render, peace of mind impossible – all such persons we must treat with contempt. If then we think that an event could happen in one or other particular way out of several, we shall be as tranquil when we recognize that it actually comes about in more ways than one as if we knew that it happens in this particular way.

Bailey, 1926

we must not suppose that our inquiry into these things has not reached sufficient accuracy to contribute to our peace of mind and happiness. So we must carefully consider in how many ways a similar phenomenon is produced on earth, when we reason about the causes of celestial phenomena and all that is imperceptible to the senses; and we must despise those persons who do not recognize either what exists or comes into being in one way only, or that which may occur in several ways in the case of things which can only be seen by us from a distance, and further are not aware under what conditions it is impossible to have peace of mind. If, therefore, we think that a phenomenon probably occurs in some such particular way, and that in circumstances under which it is equally possible for us to be at peace, when we realize that it may occur in several ways, we shall be just as little disturbed as if we know that it occurs in some particular way.

Letter to Herodotus |81|

Epicurus, c. 301-300 BCE

Ἐπὶ δὲ τούτοις ὅλως ἅπασιν ἐκεῖνο δεῖ κατανοεῖν, ὅτι τάραχος ὁ κυριώτατος ταῖς ἀνθρωπίναις ψυχαῖς γίνεται ἐν τῷ ταὐτὰ μακάριά τε δοξάζειν ‹εἶναι› καὶ ἄφθαρτα καὶ ὑπεναντίας ἔχειν τούτοις ἅμα βουλήσεις καὶ πράξεις καὶ αἰτίας, καὶ ἐν τῷ αἰώνιόν τι δεινὸν ἢ προσδοκᾶν ἢ ὑποπτεύειν κατὰ τοὺς μύθους, εἴτε καὶ αὐτὴν τὴν ἀναισθησίαν τὴν ἐν τῷ τεθνάναι φοβουμένους ὥσπερ οὖσαν κατ᾽ αὐτούς, καὶ ἐν τῷ μὴ δόξαις ταῦτα πάσχειν ἀλλ᾽ ἀλόγῳ γέ τινι παραστάσει, ὅθεν μὴ ὁρίζοντας τὸ δεινὸν τὴν ἴσην ἢ καὶ ἐπιτεταμένην ταραχὴν λαμβάνειν τῷ εἰ καὶ ἐδόξαζον ταῦτα·

Yonge, 1853

We must also recollect that which principally contributes to trouble the spirit of men is the persuasion which they cherish that the stars are beings imperishable and perfectly happy, and that then one's thoughts and actions are in contradiction to the will of these superior beings. They also being deluded by these fables, apprehend an eternity of evils, and they fear the insensibility of death, as if that could affect them. What do I say? It is not even belief, but inconsiderateness and blindness which govern them in every thing, to such a degree that, not calculating these fears, they are just as much troubled as if they really had faith in these vain phantoms.

Hicks, 1925

There is yet one more point to seize, namely, that the greatest anxiety of the human mind arises through the belief that the heavenly bodies are blessed and indestructible, and that at the same time they have volitions and actions and causality inconsistent with this belief; and through expecting or apprehending some everlasting evil, either because of the myths, or because we are in dread of the mere insensibility of death, as if it had to do with us; and through being reduced to this state not by conviction but by a certain irrational perversity, so that, if men do not set bounds to their terror, they endure as much or even more intense anxiety than the man whose views on these matters are quite vague.

Bailey, 1926

And besides all these matters in general we must grasp this point, that the principal disturbance in the minds of men arises because they think that these celestial bodies are blessed and immortal, and yet have wills and actions and motives inconsistent with these attributes; and because they are always expecting or imagining some everlasting misery, such as is depicted in legends, or even fear the loss of feeling in death as though it would concern them themselves; and, again, because they are brought to this pass not by reasoned opinion, but rather by some irrational presentiment, and therefore, as they do not know the limits of pain, they suffer a disturbance equally great or even more extensive than if they had reached this belief by opinion.

Letter to Herodotus |82|

Epicurus, c. 301-300 BCE

ἡ δὲ ἀταραξία τῷ τούτων πάντων ἀπολελύσθαι καὶ συνεχῆ μνήμην ἔχειν τῶν ὅλων καὶ κυριωτάτων. Ὅθεν τοῖς πάθεσι προσεκτέον τοῖς παροῦσι καὶ ταῖς αἰσθήσεσι, κατὰ μὲν τὸ κοινὸν ταῖς κοιναῖς, κατὰ δὲ τὸ ἴδιον ταῖς ἰδίαις, καὶ πάσῃ τῇ παρούσῃ καθ' ἕκαστον τῶν κριτηρίων ἐναργείᾳ· ἂν γὰρ τούτοις προσέχωμεν, τὸ ὅθεν ὁ τάραχος καὶ ὁ φόβος ἐγίνετο ἐξαιτιολογήσομεν ὀρθῶς καὶ ἀπολύσομεν, ὑπὲρ τε μετεώρων αἰτιολογοῦντες καὶ τῶν λοιπῶν τῶν ἀεὶ παρεμπιπτόντων, ὅσα φοβεῖ τοὺς λοιποὺς ἐσχάτως. Ταῦτά σοι, ὦ Ἡρόδοτε, ἔστι κεφαλαιωδέστατα ὑπὲρ τῆς τῶν ὅλων φύσεως ἐπιτετμημένα.

Yonge, 1853

And the real freedom from this kind of trouble consists in being emancipated from all these things, and in preserving the recollection of all the principles which we have established, especially of the most essential of them. Accordingly, it is well to pay a scrupulous attention to existing phenomena and to the sensations, to the general sensations for general things, and to the particular sensations for particular things. In a word, we must take note of this, the immediate evidence with which each of these judicial faculties furnishes us; for, if we attend to these points, namely, whence confusion and fear arise, we shall divine the causes correctly, and we shall deliver ourselves from those feelings, tracing back the heavenly phenomena to their causes, and also all the other which present themselves at every step, and inspire the common people with extreme terror. This, Herodotus, is a kind of summary and abridgment of the whole question of natural philosophy.

Hicks, 1925

But mental tranquillity means being released from all these troubles and cherishing a continual remembrance of the highest and most important truths. Hence we must attend to present feelings and sense perceptions, whether those of mankind in general or those peculiar to the individual, and also attend to all the clear evidence available, as given by each of the standards of truth. For by studying them we shall rightly trace to its cause and banish the source of disturbance and dread, accounting for celestial phenomena and for all other things which from time to time befall us and cause the utmost alarm to the rest of mankind. Here then, Herodotus, you have the chief doctrines of Physics in the form of a summary.

Bailey, 1926

But peace of mind is being delivered from all this, and having a constant memory of the general and most essential principles. Wherefore we must pay attention to internal feelings and to external sensations in general and in particular, according as the subject is general or particular, and to every immediate intuition in accordance with each of the standards of judgment. For if we pay attention to these, we shall rightly trace the causes whence arose our mental disturbance and fear, and, by learning the true causes of celestial phenomena and all other occurrences that come to pass from time to time, we shall free ourselves from all which produces the utmost fear in other men. Here, Herodotus, is my treatise on the chief points concerning the nature of the general principles, abridged

Letter to Herodotus |83|

Epicurus, c. 301-300 BCE

